## 16. Вопросы Іакова брата Господня Іоанну Богослову.

Τοῦ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου ἐρώτησις καὶ ἀπόκρισις πρὸς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον [1]).
Δέσποτα εὐλόγησον.

Εἰπὲ ἡμῖν, Ἰωάννη Θεολόγε, περὶ τῶν ἐσχάτων ἡμερῶν τῶν ἀνθρώπων· πῶς ἀπέρχεται ἡ ψυχὴ ἐκ τοῦ σώματος καὶ ποῦ μέλλει κατοικεῖν ἕως τῆς δευτέρας παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Ὁ δὲ Ἰωάννης λέγει πρὸς αὐτόν· ἄκουσον, Ἰάκωβε. ἐὰν ἔλθῃ κέλευσι(ς) τοῦ ἀοράτου θεοῦ ἡμῶν τοῦ χωρίσαι ψυχὴν ἐκ τοῦ σώματος, ἔρχεται ὁ ἄγγελος, ὁ ἐξ ἀρχῆς ἦν μετὰ τὸν ἄνθρωπον καὶ ὁ πρῶτος ἀρχάγγελος Μιχαὴλ μετὰ ξίφων πυρίνων, καὶ μετ' αὐτῶν τῶν δύο ἄλλοι τέσσαρεις, καὶ ἀναλαμβάνουσιν τὴν ψυχὴν ἐκ τοῦ σώματος καὶ ἀκολουθοῦν τοῦ σώματος ἕως τοῦ μνήματος μετὰ τῆς ψυχῆς καὶ παραστήκουν ἐν τῷ μνήματι ἕως οὗ σφραγισθῇ τὸ μνημεῖον ἀπὸ τοῦ ἱερέως. Καὶ τότε ἡ ἁμαρτωλὴ ψυχὴ θρηνεῖ σφόδρα καὶ λέγει· οἴμοι, οἴμοι! ὅτι ἀφῆκα φῶς δύναντα καὶ ἀπέρχομαι εἰς σκότος τὸ τόποτε (sic) [2]) ἐκεῖ μὴ γεννώμενον. οἴμοι! ἀφῆκα τοὺς φίλους μου καὶ ἀπέρχομαι εἰς χώραν ἣν [3]) οὐχ ἑώρακά ποτε. οἴμοι, οἴμοι! ὅτι ἀφῆκα [4]) τὸ σῶμά μου ὅλον χνοῦς ἐστιν. ἀλλὰ χαρὰν πρόσκαιρον μετ' αὐτὸν εἶχα [5]) καὶ (ὑ)πάγω ἐκεῖ ὅπου χαρὰ καὶ δόξα τῶν ἁμαρτωλῶν οὐκ ἔστιν. Καὶ μετὰ ταῦτα παραλαμβάνουσιν αὐτὴν οἱ ἄγγελοι καὶ ἀναβαίνουσιν ἕως τοῦ ἀέρως [6]) καὶ ἀπαντῶν αὐτῶν αἱ τάξεις τῶν δαιμόνων ὡσεὶ νέφος καὶ ὡσεὶ κόρακες μελανίζοντες καὶ συνπλέκων τὴν ψυχὴν τὴν ἁμαρτωλὴν καὶ λέγουσιν οὕτως· ἐν τῇ βαπτίσει αὐτῶν ὑπὸ τοῦ ἱερέως ἀπαρνήσατε ἡμᾶς, καὶ πάλιν τὴν σφραγῖδαν αὐτοῦ ἀρνησάμενος καὶ ἐποίησεν τὰ ἡμῶν θελήματα ἕως τοῦ σώματος αὐτοῦ. Καὶ τότε κραυγὴ γίνεται τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ συνάγονται μύριαι μυριάδες ἀγγέλων μετὰ ξίφων φλογερῶν καὶ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ ἀπολαύνονται αἱ

[1]) Ordinem tituli inverti, nam codex τοῦ ἁγίου Ἰωάννου τοῦ Θ. ἐρ. καὶ ἀπ. πρὸς τὸν Ἰ. τὸν ἀδ. τ. Κ. praebet. [2]) Quaedam excidisse videntur. [3]) Cod. ἅ. [4]) Aliquid excidit. [5]) Cod. ἦχα. [6]) Cod. ἄερως.





τάξεις τῶν δαιμόνων ἕως χάος τοῦ ᾅδου. καὶ τότε ὑπάγουσιν τὴν ἁμαρτωλὴν εἰς τὸν πύρινον ποταμὸν καὶ δέχεται τὴν ψυχὴν ὁ πύρινος ποταμὸς καὶ φλογίζεται ἡ ψυχὴ τὰς δυναστείας τῶν κολάσεων. καὶ ὅτε περάσει ἡ ψυχὴ τὸν ποταμὸν μελονομένη λέγει τὸ Ὑπὸ ἁμαρτωλῶν πλανηθέντα καὶ ταύτοις τοῖς βασάνους [1]) ὑποβληθέντα, ἀλλὰ Κύριε, Κύριε! μὴ εἴδω ταύτην τὴν κόλασίν ποτε. Καὶ παραμένει ἐκεῖ ἡμέρας τρεῖς καὶ θεωρεῖ τὸν βρυγμὸν τοῦ ποταμοῦ καὶ τὴν δύναμιν τῶν βασάνων καὶ τότε ἀπέρχεται ἡ ψυχὴ ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ ἀπάγουν αὐτὸν οἱ ἄγγελοι εἰς τὸν σκώληκα τὸν ἀκοίμητον καὶ καταλείπουν τὴν ψυχὴν ὡς μὴ ἔχων (sc. ὁ σκώληξ) ἐξουσίαν καταβιβρώσκειν αὐτὴν ἕως τῆς δευτέρας παρουσίας τοῦ Κυρίου. Καὶ λέγει ἡ ἁμαρτωλὴ ψυχὴ μετὰ δακρύων· οὐαί μοι τῷ ἁμαρτωλῷ καὶ ἀμετανόητον [1]) ὅτι τῶν αὐτοῦ βασάνων ὑπεβλήθην! οὐαί μοι τῷ ἁμαρτωλῷ καὶ ἄφρωνι [2]) ὅτι ἤκουον τοῦ Εὐαγγελίου καὶ κατεγέλων τοὺς ἱερεῖς τοὺς ἡμῖν διαμαρτυροῦντας, ἤκουον τῶν προφητῶν καὶ ὡς μὴ ἀκούων αὐτοὺς ἐπολιτευόμην! οὐαί μοι τῷ ἁμαρτωλῷ! ἀλλὰ Κύριε, Κύριε, μὴ εἴδω τοῖς βασάνοις τούτοις πώποτε. καὶ παραμένει ἐκεῖ ἡμέρας θ' καὶ τότε ἀπέρχεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν πυρίμορφον καὶ ἀπάγουν αὐτὸν εἰς τὰς κολάσεις πάσας. καὶ ἀπὸ πάντων καταισχύνεται καὶ βοοῦν αἱ κολάσεις πρὸς αὐτόν· δεῦρο, ἄξιε τῶν ἑτέρων κολάσεων. οὐκ ἠθέλησας τὸ φῶς, δέχου τὸ σκότος. οὐκ ἠθέλησας παραδείσου τὴν χαράν, δέχου τῶν κολάσεων. Καὶ τότε θρηνεῖ ἡ ψυχὴ μετὰ δακρύων καὶ λέγουσα· οὐαί μοι τῷ ἁμαρτωλῷ τῷ πλανηθέντι ἐν ἁμαρτίαις καὶ μὴ μετανοήσαντι! καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας μ' καὶ ἀπάγεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τοῦ Κυρίου· τότε ὁρᾷ τὸν Υἱὸν τοῦ θεοῦ καὶ λυπηθήσονται οἱ ἄγγελοι καὶ ἀρχάγγελοι ὅτι ὑπάγῃ ἡ ψυχὴ εἰς κόλασιν αἰώνιον μετὰ πονηρῶν ἀγγέλων. Καὶ γὰρ οὐκ εἰσὶν οἱ ἄγγελοι πονηροί, μὴ γένοιτο, ἀλλὰ διὰ τὰς πράξεις τῶν ἁμαρτωλῶν γενήσονται καὶ οἱ ἄγγελοι πονηροὶ καὶ ἀπάγουνται ἀπέναντι τῶν κολάσεων ὅπου μέλ(λ)ουν κολάζεσθαι εἰς ὅλους τοὺς αἰῶνας, καὶ θεωρεῖ τοὺς [3]) βασάνους ὅπου μέλ(λ)ουν κολάζεσθαι καὶ λέγει· Κύριε, Κύριε, ὁ

[1]) Accusativus dativi loco. [2]) Cod. ἄφρων. [3]) Cod. τάς.

ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, μὴ ἔλθῃ ἡ δευτέρα παρουσία καὶ ὑποβληθῶ τῶν αὐτοῦ βασάνων.

Ἀλλὰ τοῦτο λέγω, Ἰάκωβε φίλε θεοῦ, ἁμαρτωλῶν ἀμετανοήτων θεὸς οὐκ εἰσακούει. Ὁ Ἰάκωβος λέγει πρὸς αὐτόν· Θεολόγε Ἰωάννη, ἀνάγγειλόν μοι καὶ περὶ τῶν δικαίω(ν) [1]. ὅταν δὲ χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος αὐτοῦ λέγει· εὐχαριστῶ (σοι), θεέ μου, καλὲ βασιλεῦ οὐράνιε, ὅτι ἀπεχωρίσθην πηλίνου σώματος καὶ ἐφάνην ἐγὼ φωτεινὸς καὶ αὐτὸς κατάκειται ἐν γῇ διαλυθείσας ἦν ἄξια (sic)· καὶ γὰρ ἀπέρχομαι εἰς φῶς τοῦ παραδείσου ὡς οὐκ ἐπαρέβην ἐντολὴν τῶν ἱερέων οὔτε λόγους τοῦ ἁγίου Εὐαγγελίου. Καὶ τότε ἀπάγουν αὐτὸν ἐν τῷ ἀέρι καὶ θεωροῦντες αὐτὸν οἱ δαίμονες κατακρύπτονται ὡς οὐκ [2]) εἰσὶν ἄξιοι προσαπαντῆσαι τῷ δικαίῳ, ἀλλὰ μᾶλλον θεωροῦντες αὐτὸν μακρόθεν θρηνοῦντες ἄμετρα καὶ λέγουν· οὐαὶ ἡμῖν ὅτι οὐκ ἐσμὲν ἄξιοι μόνον ἵνα θεασώμεθα αὐτόν! καὶ ὑπάγουν αὐτὸν οἱ ἄγγελοι εἰς τὸν πύρινον ποταμὸν καὶ περνᾷ ὡς περιστερὰ πετάζουσα καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας τρεῖς καὶ λέγει οὕτως· εὐχαριστῶ σοι, Κύριε, ὅτι ἄσπιλος καὶ ἀκόλαστος τῶν βασάνων τούτων διεπέρασα. καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον, καὶ συνακολουθοῦσιν αὐτὸν οἱ ἄγγελοι καὶ ἀπάγουν αὐτὸν εἰς τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τότε βοοῦν αἱ κολάσεις· ἄπαγε ἀφ' ἡμῶν, ψυχὴ φωτεινή, μὴ ἐγγίσῃς ἡμῶν ὅτι οὐκ ἐσμὲν ἄξιοι. Καὶ τότε λέγει ἡ ψυχή· εὐχαριστῶ σοι, Κύριε, ὅτι αὐτῶν τῶν βασάνων ἀλλότριός εἰμι ἐγώ. καὶ παραμένει ἐκεῖ ἡμέρας θ'. καὶ τότε ἀπάγεται ὑπὸ τῶν ἀγγέλων καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ ἀκολουθοῦσιν αὐτὸν οἱ ἄγγελοι χαίροντες καὶ ἀγάλλοντες [3]) ὅτι αὐτῶν τῶν βασάνων οὐκ ἐστὶν [4]) ἄξιος ἵνα μόνον ὁρᾶν αὐτούς· ταῦτα περιμένουν τοὺς ἀμετανοήτους καὶ ἁμαρτωλούς. Καὶ παραμένει ἐκεῖ ἡ ψυχὴ ἡμέρας μ' καὶ τότε ἀπάγεται πάλιν καὶ προσκυνεῖ τὸν θρόνον τὸν τετράμορφον καὶ τότε ὁρᾷ τὸν Υἱὸν τοῦ θεοῦ καὶ τότε χαίρει ὁ Πατὴρ σὺν τῷ Υἱῷ καὶ τὸ ἅγιον Πνεῦμα καὶ πάντες οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι μετὰ λαμπάδων καὶ δόξης πολλῆς καὶ ἀπάγουν αὐτὸν ἐνώπιον τοῦ παραδείσου καὶ θεωρεῖ τὴν δόξαν

[1]) Plura excidisse videntur. [2]) Cod. ὡσεί. [3]) Cod. χαίρου καὶ ἀγάλλου. [4]) Cod. εἰσίν.





αὐτοῦ ἣν μέλλει λαβέσθαι καὶ λέγει· Κύριε, Κύριε, ἂς ἔλθῃ σύντομα ἡ δευτέρα παρουσία σου ἵνα λάβω τὴν δόξα(ν) μου. Καὶ ἔστιν μέσα τῶν ἁμαρτωλῶν καὶ τῶν δικαίων χάσμα μέγα καὶ ἐν τὸ χάσμα πῦρ φλέγων τοὺς ἁμαρτωλούς, πρὸς δὲ τοὺς δικαίους δρόσος καὶ δροσίζει αὐτούς. Καὶ λέγει αὐτῷ ὁ Ἰάκωβος· εἰπὲ ἡμῖν, εὐλογημένε δοῦλε τοῦ θεοῦ, Ἰωάννη Θεολόγε· καὶ πῶς μέλ(λ)ει σωθῆναι πᾶσα ψυχή, ὅτι οὐδεὶς ἀναμάρτητος; Καὶ λέγει αὐτῷ Ἰωάννης· ἄκουσον, ὦ Ἰάκωβε, σκληρὸς ὁ λόγος ὃν σὺ ἐρωτᾷς με. μαρτυρεῖ μοι ἅγιον Εὐαγγέλιον ὅτι ἔχων ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐν(ν)έα τῷ ὄρει πορευθῇ ζητῶν τὸ ἀπολωλὸς καὶ εὑρὼν [1]) αὐτὸν βαστάζῃ [2]) τοῦτον ἐπὶ τῶν ὤμων αὐτοῦ καὶ ἔρχεται ἐπὶ τοὺς φίλους καὶ ἀδελφοὺς αὐτοῦ λέγων ὅτι συγχάρητέ μοι ὅτι εὗρον τὸ ἀπολωλὸς πρόβατόν μου; Οὕτως καὶ ἐὰν πλανηθῇ τις ἐν ἁμαρτίᾳ καὶ πάλιν μεταστρέφεται καὶ ἐξέρχεται ἐν τῷ ἱερεῖ ἐξομολογούμενος τὰς ἁμαρτίας αὐτοῦ πάσας, τότε ὁ διάβολος αὐτοῦ φεύγει ἐκ τὴν θύραν τῆς ἐκκλησίας ἕως ᾅδου καὶ λέγει· οὐαί μοι ὅτι ἠπώλεσαν (=ἀπώλεσα) τὸν ἐμὸν φίλον. Καὶ τότε παραλαμβάνει αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῆς δεξιᾶς χειρὸς καὶ λέγει τοῖς ἀγγέλοις αὐτοῦ· συγχάρητέ μοι ὅτι πρόβατον ἀπολωλόμενον ηὗρον. καὶ μεγάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐπὶ ἁμαρτωλῷ μετανοοῦντι. καὶ ἐὰν μέλ(λ)ῃ αὔριον ἐξομολογήσασθαι καὶ ἀφῶν τὴν ἁμαρτίαν σήμερον κατοικεῖ τὸ ἅγιον πνεῦμα ἐν αὐτῷ. ὅτι ἐὰν ἁμαρτάνῃ ἄνθρωπος ἐκφεύξεται ἐξ αὐτὸν τὸ ἅγιον πνεῦμα καὶ παραστήκει αὐτὸν ὡς (σ)κιὰν (ν)υκτὸς καὶ ἡμέρας καὶ ἐκδέχεται τὴν ὀδύνην ἵνα κατοικῇ ἐν αὐτὸν καὶ ὁ Κύριος ἡμῶν. Οἰκτείρει ὁ προφήτης ὅτι· νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα καὶ οὐκ οἶδα δίκαιον ἐγκαταλελυμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Καὶ ἐγὼ Ἰωάννης λέγω ὅτι οἰκτειρήσει [3]) ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῇ δευτέρᾳ ἐλεύσει αὐτοῦ, οἰκτειρεῖ καὶ σώζει τὴν ψυχήν. Δείξω σοι ὑπόδειγμαν καὶ μὴ ἀφελπῇς (=ἀπελπίσῃς) ἀπὸ τῆς φιλανθρωπίας τοῦ θεοῦ. ἐάν τις καὶ μὴ ἀνωὰ (sic!) ἔχῃ ὑπόδειγμα, (ἰδὲ) τὸν Πέτρον, ὅτι τρίτον ἀρνησάμενος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ πάλιν διὰ θερμῶν δακρύων ἐσυνεχω-

[1]) Cod. εὕρων. [2]) Cod. βαστάζης. [3]) Cod. οἰκτηρίτεσι.

ρήθη εὐθὺς καὶ οὐράνιος κλειδοῦχος ἐγίνετον διὰ τῆς θερμῆς μετανοίας. Ἐὰν ᾖ πόρνος, ἰδὲ τὴν Μαρίαν τὴν πόρνην ὅτι ἥμαρτεν εἰς ἄνδρας χιλίους ἑπτακοσίους τρεῖς καὶ οὐκ ἐγίνωσκεν ξένον οὔτε ἴδιον, ἀλλὰ ὀλιγοψύχη διὰ τῶν δακρύων [1]) ἐξήλειψεν πάσας τὰς ἁμαρτίας αὐτῆς. ἐὰν ᾖ φονεὺς καὶ μετανοῶν θερμῶς, ἰδὲ τὸν Μανασσῆν ὅτι τὸν υἱὸν αὐτοῦ εἰδώλων θυσίαν ἐποίησεν καὶ μετὰ σαράκοντα πρεσβυτέρους ἐφόνευσε καὶ τὸν Ἡσαΐαν ἐνέπρισε, ἀλλὰ διὰ ἐπιστροφῆς θερμῆς στεναγμῶν καὶ δακρύων μέχρι τῶν τεσσαράκοντα ἡμερῶν ὁ βυθὸς ἐγεμίσθη καὶ συνεχωρήσθη ἐκ τῶν πολλῶν ἁμαρτιῶν. ἰδὲ καὶ τὸν λῃστὴν ὅπου κλοπαὶ [2]) καὶ φόνοι καὶ αὐτὸς ἐνενήκοντα ἐννέα φόνους ἐποίησεν, ἀλλ' ἐν πίστει θερμῇ καὶ βοῇ μεγάλῃ ὅτι εἶπεν ἐν τῷ σταυρῷ· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου, τὸν παράδεισον ἔλαβεν. Ἐὰν ᾖ μοιχός, ἰδὲ τὸν Δαυὶδ τὸν προφήτην ὅπου ἔλαβεν τὴν τοῦ Οὐρίαν γυναῖκαν, τὴν Βηρσαβεέ, καὶ ἔσχεν καὶ ἄλλαις ἐνενήκοντα ἐννέα. ἀλλ' ἐξωμο(λο)γήσατο ὁλοψύχως τὸν (Ν)άθαν τὸν προφήτην καὶ τὸ πύρινον ξίφος ἀποστράφη ἀπ' αὐτόν, καὶ καθέζεται θεοπάτωρ Καὶ πάλιν ἀποδείξω σοι τὸν Ἀνδρέαν Κρήτην ὅτι καὶ αὐτὸς ἐν τῇ μητρὶ αὐτοῦ ἐμοίχευσεν, ἀλλ' ἐν μετανοίας καθαρᾶς ὑμνῳδὸς καὶ ῥήτωρ τῶν θείων γραφῶν ἐγίνετον καὶ τὸν θρόνον τῆς ἐπισκοπῆς ἐδέξατο. Ἐὰν μάγος ἦν (=ᾖ) καὶ φονεύς, ἰδὲ τὸν Κυπριανὸν ὅτι καὶ αὐτὸς ἐκ γένους δαιμόνων ἐγέννατον καὶ χίλια τριάκοντα βρέφη ἀνήλωσεν καὶ ἄλλα ἑστατὸν ἐπὶ τὸ πλάτος ἐποίησεν, ἐξύσεν καὶ πολλοὺς ἐκ τὴν ὁδὸν τοῦ θεοῦ μετέστρεψεν. ἀλλὰ δι' ἐπιστροφῆς ὀρθῆς (καὶ) ἐξομολογήσεως [3]) θερμῆς τὰς δυνάμει(ς) τῶν δαιμόνων ἐνίκησεν καὶ σύνθρονος τοῖς ἐπισκόποις καὶ λειτουργὸς τοῦ θεοῦ ἐγένετον. Τοῦτον λέγω σοι· οὐαὶ τοὺς μὴ μετανοήσαντας ὅτι ἐν ἀνομίαις ἀποθανὼν Χριστοῦ ἀνάστασιν οὐ θεωρεῖ, ἀλλὰ κολάζεται μετὰ τῶν δαιμόνων εἰς τὸν ᾅδην, ὅτι, καθώς φησι τὸ Εὐαγγέλιον, πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας καὶ ἡ ἁμαρτία υἱὸς διαβόλου ἐστίν· παραλαμβάνει τοὺς ἀμετανοήτους ὁ διάβολος καὶ ἀπάγει αὐτοὺς τῷ διαβόλῳ τῷ πατρὶ αὐτοῦ. Ἐὰν δὲ ποιήσῃ θυσίαν ὁ ἁμαρτωλὸς πρὶν

[1]) Ordinem mutavi, nam cod. διὰ τ. δακρ. ὀλιγ. praebet. [2]) Cod. κλόπται.
[3]) Cod. ἐξομολόγησις.



μετανοήσῃ παροξύνει τὸν Κύριον καθώς φησιν ὁ προφήτης ὅτι· θυσία ἁμαρτωλοῦ βδέλυγμα Κυρίῳ καὶ ἡ προσευχὴ αὐτοῦ γενήσεται [1]). ἁμαρτάνῃ πεντηκοστὸς δὲ ἀμετανόητος ἐπικατάρατος, ὅτι λευκαίνουν αἱ τρίχας τῆς κεφαλῆς αὐτοῦ. ἐὰν δὲ ἁμαρτάνῃ γέρων ἄνευ τε τῆς γυναικὸς αὐτοῦ καλεῖται οὕτως ὅτι εἰς τὴν ἰδίαν θυγατέραν ἐπόρνευσεν ὅτι πατὴρ πάντων καλεῖται. ἥ τε καὶ γυνὴ ἐὰν λευκαίνουν τρίχας τῆς κεφαλῆς αὐτῆς καὶ πορνεύῃ καλεῖται οὕτως ὅτι μὲν εἰς τὸ ἴδιον τέκνον αὐτῆς ἐμοίχευσεν. Τοὺς δὲ μετανοοῦντας πάντας εἰσακούσεται Κύριος καὶ λέγει· οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι (αὐτὸν) καὶ ζῆσαι. λέγει γὰρ τὸ ἅγιον Εὐαγγέλιον ὅτι· ἄφες ἐκκόψαι τὴ(ν) συκὴν ἵνα σκάψαι περιποιοῦμαι ἐπ' αὐτῷ χρόνους τρεῖς καὶ ἐὰν οὐ καρποφορῇ ἔκκοψον αὐτὴν ἵνα μᾶλλον καὶ τὴν γῆν καταργῇ. Τὸ δένδρον ὁ ἁμαρτωλός ἐστιν, τὸ σκάψαι ὁ λόγος τοῦ ἱερέως, ὁ ἀμπελὼν ὁ κόσμος· ἐὰν οὐ μεταστρέφῃ καὶ φέρῃ καρπὸν καλόν, ἀπάγεται εἰς τὸ πῦρ τὸ αἰώνιον. Οὐαὶ τοὺς ἱερεῖς τοὺς ἁμαρτάνοντας καὶ οὐ μετανοοῦντας!

Λέγει αὐτῷ ὁ Ἰάκωβος· εἰπὲ ἡμῖν, Ἰωάννη, περὶ τῶν θησαυριζομένων ἐν ἐκκλησίαις καὶ ὄρεσι καὶ πτωχοῖς· τί ἐστιν ἀντάλλαγμα; Λέγει αὐτῷ Ἰωάννης ὁ ἀπόστολος· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Κύριος. ἐὰν εἴ τι ἂν δώσῃ ἄνθρωπος, ἀπολαμβάνει ἑκατόν. ἐὰν ἔνι ἀσθενής, τὰ δὲ κουφίζονται καὶ τὰ ἐνενήκοντα ἀπολάβῃ. καὶ ἐὰν τελευτήσῃ ἄνθρωπος καὶ λέγῃ τῷ ὑπηρέτῃ αὐτοῦ· δὸς τὰ ὑπάρχοντά μου, τὸ μὲν ἕνα ἔχει ὁ ἠπίτροπος (=ἐπ-), ἡ δὲ μία μοῖρα ἔνι τοῦ ἀποθανόντος. Πληροφορήθητε, ἀδελφοὶ οἱ ἀκούοντες· μετὰ τὸ ἀποθανεῖν τὸν ἄνθρωπον μετάνοια οὐκ ἔστιν οὐδὲ συγχώρησις τῶν μετανοούντων. ἀλλὰ πάλιν λέγω ὑμῖν μὴ ἀπελπιστεῖν τοῦ θεοῦ ἡμῶν φιλανθρωπία(ν) ὅτι αὐτὸς εἶπε· τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

[1]) Quaedam praetermissa sunt.